δεῦρ' ἦλθον, ἢ κίνδυνον ἐξ ἀμηχάνων
ῥίπτοντες, εἴτ' οὖν, εἴτε μὴ γενήσεται.
οὐ γάρ φρενήρη γ' ὄντα σ' ἐλπίζουσί που
μόνον τοσαύτης, ἧς ἐπῆλθον, Ἑλλάδος,
τὰς τῶνδ' ἀβούλους ξυμφορὰς κατοικτιεῖν.
φέρ' ἀντίθες γάρ, τούσδε τ' εἰς γαῖαν παρεὶς,
ἡμᾶς τ' ἐάσας ἐξάγειν, τί κερδανεῖς;
τὰ μὲν παρ' ἡμῶν, τοιάδ' ἔστι σοι λαβεῖν,
Ἄργους τοσήνδε χεῖρα, τήν τ' Εὐρυσθέως
ἰσχὺν ἅπασαν τῇδε προσθέσθαι πόλει.
ἢν δ' εἰς λόγους τε καὶ τὰ τῶνδ' οἰκτίσματα
βλέψας πεπανθῇς, εἰς πάλην καθίσταται
δορὸς τὸ πρᾶγμα. μὴ γὰρ ὡς μεθήσομεν
δόξῃς ἀγῶνα τόνδ' ἄτερ Χαλυβδικοῦ.
τί δῆτα φήσεις; ποῖα πεδί' ἀφαιρεθεὶς
Τιρυνθίας γῆς πόλεμον Ἀργείοις ἔχειν;
ποίοις δ' ἀμύνων ξυμμάχοις; τίνος δ' ὕπερ
θάψεις νεκροὺς πεσόντας; ἦ κακὸν λόγον
κτήσει πρὸς ἀστῶν, εἰ γέροντος οὕνεκα
τύμβου, τὸ μηδὲν ὄντος, ὡς εἰπεῖν ἔπος,
παίδων τε τῶνδ', εἰς ἄντλον ἐμβήσει πόδα.
ἐρεῖς τὸ λῷστον ἐλπίδ' εὑρήσειν μόνον.
καὶ τοῦτο πολλῷ τοῦ παρόντος ἐνδεές.
κακῶς γὰρ Ἀργείοισιν οἵδ' ὡπλισμένοι
μάχοιντ' ἂν ἡβήσαντες, (εἴ τι τοῦτό σε

149. δεῦρ' ἦλθον ἐς κίνδυνον,
150. ῥιπτοῦντες,
152. ἣν ἐπῆλθον
153. κατοικτίσεις.
154. τούσδε γ'
162. δόξῃς——χαλυβικοῦ.
164. Τιρυνθίοις θῆς
165. συμμάχοις;
166. ἢ κακὸν λόγον
167. κτήσῃ
169. ἐμβήσῃ
173. μάχοιντ' ἀνηβήσαντες, εἰ τοῦτό σε